# ΚΕΙΜΕΝΟΝ.

Ἤθελε μὲν νοερὰν στῆσαι φύσιν οὐρανίην τε
Καὶ χθονίην, πρώτοιο διαυγέα φωτὸς ἔσοπτρα,
Τὴν μὲν ἄνω στίλβουσαν ὑποδρήστειραν Ἄνακτος,
Πλησιφαῆ, μεγάλην, τήν δ᾽ ἐνθάδε κῦδος ἔχουσαν,
Πηγάζων θεότητα, ὅπως πλεόνεσσιν ἀνάσσῃ
Οὐρανίων, πλεόνων τε πέλῃ φάος ὀλβιόδωρον.
Ἧδε γάρ ἐστιν Ἄνακτος ἐμοῦ φύσις, ὄλβον ὀπάζειν
Ὄφρα δὲ μὴ πελάουσα Θεῷ κτίσις, ἀντιθέοιο
Κύδεος ἱμείρουσα, φάος καὶ κῦδος ὀλέσσῃ
(Μέτρα φέρειν γὰρ ἄριστον, ἀμετρίη δὲ κάκιστον).
Τοὔνεκεν ἐσσομένοισι φίλα φρονέων Λόγος Αἰπὺς
Τῆλε βάλε Τριάδος μὲν, ὅσον φάος ἀμφιθόωκον·
Ἀγγελικῶν τε χορῶν βροτέην φύσιν. Ἀγγελικὴν μὲν
Οὐ μάλα πολλὸν ἄνευθε παρασάτιν, ἡμετέρην δὲ
Καὶ μάλα πολλὸν ἄνευθεν, ἐπεὶ χθονὸς ἐκγλυόμεθα
Μιχθείσης Θεότητι. Ἁπλῆ δέ τε φύσις ἀρείων.

## ΕΡΜΗΝΕΙΑ.

Ἤθελε μὲν νοερὰν ὑποστῆσαι φύσιν, οὐρανίαν τε καὶ χθονίαν, ἔσοπτρα διαυγῆ τοῦ πρώτου φωτός, τὴν μὲν οὐρανίαν, ἄνω λάμπουσαν, ὑπηρέτιν τυγχάνουσαν τοῦ θεοῦ, πεπληρωμένην φωτός, τὴν δὲ χθονίαν, ἐνταῦθα τὴν δόξαν ἔχουσαν, ὁ πηγάζων καὶ βλύζων καὶ χέων τὴν ἀγαθότητα τῆς θεότητος, ἵνα πλειόνων βασιλεύῃ οὐρανίων, καὶ ἵνα πλειόνων ὑπάρχῃ φῶς ἀγαθῶν δωρημάτων παρεκτικόν. Αὕτη γάρ ἐστι τοῦ ἐμοῦ Βασιλέως ἡ φύσις, τὸ ἴδιον πλοῦτον ἐκχεῖν διαφόρως ἐν διαφόροις τοῖς εἴδεσιν, ἵνα ᾖ τὰ εὐεργετήματα πλείονα. Ἀλλ᾽ ὡς ἂν μὴ πλη-

σιάζου-